# Ἀκολουθία ὁσ. ΘΕΟΦΑΝΟΥΣ ἐπ. Ξάνθης καί Περιθωρίου

**Ψαλλομένη τῇ 3η Μαΐου**

**Ποίημα Ἀθανασίου Ἱερομονάχου Σιμωνοπετρίτου**

## ΕΣΠΕΡΙΝΟΣ

Μετά τόν Προοιμιακόν, εἰς τό Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ Στιχηρά Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῷ θείῳ ἔρωτος βέλει Πάτερ βληθεὶς τὴν ψυχήν, εἰς Ὄρος Ἄθω ἦλθες, ἔνθα κλίνας αὐχένα, Μονῇ Βατοπαιδίου πόθῳ θερμῷ, θεῖον σχῆμα ἀνείληφας, τοῦ βίου λάμπων Θεόφανες ἀρεταῖς, ἐμπρεπούσαις τοῖς μονάζουσιν.

Ὑπακοὴν ἐξασκήσας τὴν ἀδιακρίτον, διέκρινας ὡς ἔδει, τῶν πραγμάτων τὴν τάξιν, διδοὺς πρωτεῖα Πάτερ τοῖς ἀληθῶς, καὶ οὐδέποτε πίπτουσιν, ὅθεν Θεόφανες εὗρες τὸν θησαυρόν, Βασιλείας ἐν καρδίᾳ σου.

Θεοῦ ποθήσας τὴν θέαν κλεινὲ Θεόφανες, ταύτης κατηξιώθης, σεαυτὸν ἐκκαθάρας, ἀσκήσει ἐπιμόνῳ καὶ προσευχῇ, ὡς Πατέρες διδάσκουσιν, καὶ εἶδες ἄῤῥητα κάλλη τοῦ οὐρανοῦ, ὥσπερ θεῖον τηλεσκόπιον.

Εἰς ὄρη Πάτερ ἀνῆλθες τὰ ὑπερκόσμια, ἀσκήσας ἐν τῷ Ἄθῳ, τῆς Παρθένου τῷ κήπῳ, καὶ μύρων ἠξιώθης τῶν νοητῶν, ὡς ἀλάβαστρον ἔνθον, καταμυρίζων εὐόσμως τοὺς τὴν σεπτήν, μνήμην πόθῳ σου γεραίροντας.

Ἀγγελοτρόπως βιώσας τὸν νοῦν ἠλλοίωσαι, Θεόφανες τρισμάκαρ, τῇ καλῇ ἀλλοιώσει, διὸ καὶ ἠξιώθεις Πάτερ ἰδεῖν,

τὸν θειότατον Μάξιμον, Καυσοκαλύβην περώμενον ὡς πτηνόν, τοῖς πτεροῖς τοῦ θείου Πνεύματος.

Ποιμαντικῶς διαπρέψας ὡς καθηγούμενος, Βατοπαιδίου μάνδρας, ὦ Θεόφανες μάκαρ, ἠξιώσαι ποιμάναι Ξάνθην λαμπράν, Ἱεράρχης ὡς ἔνθεος, καθοδηγήσας σὰ πρόβατα πρὸς νομάς, σωτηρίους θείοις λόγοις σου.

Δόξα. Ἦχος πλ. β΄.

Τὴν πρὸς τὸν Κύριον ἔνθεον ἀγάπην, ἐπιδειξάμενος Θεόφανες, τοῦ κόσμου ἐμάκρυνας ἐραστικῶς, ἐπιποθήσας τὴν τῶν Ἀθωνιτῶν μοναχικὴν πολιτείαν. Ἐν τῇ Μονῇ δὲ Βατοπαιδίου θεοφιλῶς ἐξασκήσας, καὶ καταστολισθεὶς ταῖς ἐνθέοις ἀρεταῖς, ἐπανεκλήθης ὑπὸ τοῦ Ἀρχιποίμενος Χριστοῦ, εἰς ποιμανσίαν τῶν χριστωνύμων τῆς Ξάνθης· ἔνθα κατὰ πάντα ἰσότιμος τοῖς ἁγίοις Ἱεράρχαις φανείς, ἐν εὐαρεστήσει Θεοῦ εἰς οὐρανοὺς μετετέθης μακάριε, πρεσβεύων φιλοτέκνως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς.

**Εἴσοδος, Φῶς ἱλαρὸν, Ἀναγνώσματα.**

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ’1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καί ἡ ἀφ΄ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται · ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ΄ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ,καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. δ' 7-15).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται.Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ε', 15-23 & στ', 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντίς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα,δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ΄ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες

πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τήν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.

Στηλογραφίας ἀρετῆς καὶ θείας ἀγάπης, ὁ βίος σου ὑπάρχει, τρισμάκαρ Θεόφανες· ἐκ γὰρ νεότητος ᾄρας τὸν σταυρὸν τῆς ἀσκήσεως, εἰς τὸν ἡγιασμένον Ἄθω κατεσκήνωσας, Θεὸν ἐκζητῶν καὶ ὅλῃ καρδίᾳ ἐπιζητῶν· ὅθεν ἐπιτυχὼν τῆς ἐφέσεως, τύπος ἀνεδείχθης ἀρετῆς, καὶ ποιμανσίας ψυχῶν ἄξιος καὶ ἐν ἡγουμένοις καὶ Ἱεράρχαις. Νῦν δὲ παριστάμενος τῷ Κυρίῳ, πρέσβευε ὑπὲρ ἡμῶν Πάτερ ἁγιώτατε.

Ἦχος β΄.

Σχολάσας ἀπὸ πάντων τῶν μηδὲ ὠφελούντων, ἔγνως ὡς ἔνεστι τὸν Θεόν, Πάτερ Θεόφανες, ἐν γὰρ τῇ εὐκτικῇ ἡσυχίᾳ περιεπόλευσας σεαυτόν, καὶ περιελόμενος πάντα τὰ ψεκτὰ πάθη, τὸν θεῖον ἔρωτα ἐπηύξησας, ζῆλον τῷ ζήλῳ ἐνζήλως προστιθέμενος· ὅθεν τὰ βάθη τοῦ Πνεύματος εἰσδύσας μυστικῶς, πάρεχε καὶ ἡμῖν τῆς δόξης σου ἀπόμοιραν.

Ἦχος γ΄.

Τῆς φωνῆς τοῦ Κυρίου ἐνωτισθεὶς λέγοντος, φιλεῖς με Θεόφανες; ἐπωμάδιων ᾖρας τῆς ἀρχιερωσύνης τὸν σταυρόν, καὶ κατὰ πάντα τρόπον φιλοτίμως ἱεραρχῶν, ἐν λόγοις καὶ ἔργοις εἰς Χριστὸν προσήγαγες τὰ λογικά σου πρόβατα· ὅθεν εὐγνώμονα δέχου παρ’ ἡμῶν σήμερον τὴν εὐχαριστίαν, Ξάνθης καί Περιθεωρίου μέγα καύχημα.

Ἦχος δ΄.

Τῇ καθαρότητι τῆς ψυχῆς σου τοῖς Ἀγγέλοις συναμιλληθεὶς Πάτερ Θεόφανες ἁγιώτατε, ἐντεῦθεν μετεῖχες τῶν οὐρανίων μυστηρίων· ὅθεν καὶ ὁ Σωτὴρ ποιμένα σε ἀνέδειξε Ξάνθης τε καὶ Περιθεωρίου, τὰ ἄνω τοῖς κάτω συνάπτοντα λειτουργικῶς, καὶ τοὺς κάτω οὐρανόφρονας τῇ διδαχῇ σου ἀναδεικνύντα. Διὸ σήμερον τοῖς εὐλαβῶς τιμῶσί σε, πάρεχε ὡς ἀντιμισθίαν τὰς εὐχὰς σου ἁγιώτατε.

Δόξα. Ἦχος πλ. α΄.

Ὡς ἄνθος χριστεύοσμον τοῦ Ἄθωνος ἐξανθήσας, καρποὺς τῷ Θεῷ ἀπέδωκας φιλοτίμως, Θεόφανες τρισμακάριστε· ὅθεν τῇ ἀσκητικῇ ἐμπειρίᾳ κεκοσμημένον, ἔθετό σε ὁ φιλόψυχος Δεσπότης, ἐπὶ τὴν ἀρχιερατικὴν λυχνίαν Ξάνθης καὶ Περιθεωρίου, ἔνθα πάντας καταφωτίσας τῷ ἐνθέῳ βίῳ σου, τῆς ἁγιότητος τὸν στέφανον ἀξίως ἀπείληφας. Διὸ τῷ Κυρίῳ νῦν παριστάμενος καὶ τὴν παῤῥησίαν κεκτημένος, μὴ διαλίπης πρεσβεύειν ὑπὲρ ἡμῶν τῶν τέκνων σου μακάριε.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις, ἄνθος τοῦ Ἄθω τερπνόν, Βατοπαιδίου ποιμενάρχα πανάριστε, καὶ τέκνον τῆς Θεοτόκου, Ἀρχιεράρχα σοφέ, ἡσυχίας λύχνε φωτεινότατε, εὐχῆς ἐργαστήριον, Ἰησοῦ εὐωδέστατον, καὶ μυστηρίων, τῶν ἀῤῥήτων συνόμιλε, θείας νήψεως, ὁ διώκτης καὶ κάτοχος, χαίροις Πάτερ Θεόφανες, ἀγάπης ἀνάκτορον, τῆς πρὸς Θεὸν καὶ πλησίον, καὶ σωτηρίας διδάσκαλε, Χριστὸν μὴ ἐλλίπῃς, ἱκετεύειν ὑπὲρ ὅσοι, μνήμην σου ἄγουσι.

Στ. *Οἱ Ἱερεῖς Σου Κυριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσει ἀγαλλιάσονται.*

Χαίροις, ὁ ἐπιγνοὺς θαυμαστῶς, βάθη τοῦ Πνεύματος Θεόφανες Ἅγιε, Μαξίμου Καυσοκαλύβη, πτῆσιν ἰδὼν ὑπὲρ νοῦν, καὶ ἀκούσας τούτου θείαν πρόῤῥησιν· διὸ ἐν κινδύνοις, καὶ πειρασμοῖς πάντα βίον σου, διατελέσας, ἄχρι τέλους ἐβάστασας, τὸν σὸν σκόλοπα, καὶ δικαίως βεβράβευσαι. Πάτερ μακαριώτατε, σὰ τέκνα ἐνίσχυε, τὰ ἐν πελάγει τοῦ βίου, παντοειδῶς διαπλέοντα, καὶ τοῦτο περάσαι, καταξίωσον ἀκλύστως, εὐχαῖς πρὸς Κύριον.

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίροις, Ξάνθης ποιμὴν ὁ καλός, τοῦ φιλανθρώπου Ἰησοῦ τὸ ἐκμίμημα, την ποίμνην σου ὁδηγήσας, πρὸς σωτηρίους νομάς, καὶ διδασκαλίᾳ ἐκθρεψάμενος, ἐν κλίσει γονάτων σου, οὐρανοὺς πείθων πάραυτα, καὶ ἐν ὑψώσει, τῶν χειρῶν ὄμβρους χάριτος, ἐπὶ τέκνα σου, ἐπιχέων θαυμάσιε. Πάτερ ἡμῶν τρισόλβιε, Θεόφανες Ὅσιε, νῦν παρεστὼς ἐν τῇ δόξῃ, τοῦ Παραδείσου μνημόνευε, τῆς ὧδε σου ποίμνης, καὶ τοῦ ταύτης προεστῶτος, καὶ διαδόχου σου.

Δόξα. Ἦχος δ΄.

Ἐν τῇ ἀσκήσει τὸν νοῦν ἐκκάθαρας τῶν γηΐνων λογισμῶν, ὅλος φωτοειδὴς οἶκος τοῦ θείου φωτὸς γέγονας, κατὰ τὴν κλῆσίν σου,Πάτερ Θεόφανες, ὅθεν καὶ τῇ ἀρχιερατικῇ τιμῇ αναχθείς, τὴν ποίμνην τῆς Ξάνθης καὶ Περιθεωρίου ἐν Κυρίω ἐφώτισας, συνεπιβάλλων τῇ γλυκυτάτῃ διδασκαλίᾳ τὸν ἔνθον βίον σου, ὅθεν τῆς ἁγιότητος ἐπαξίως λαβὼν τὰ γέρα, πρέσβευε ὑπερ ἡμῶν Ἱεράρχα σεπτέ, ὅπως ἐν πόθῳ τελῶμεν ἑκάστοτε, τὴν φαιδράν σου πανήγυριν.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Ὄρους τοῦ Ἄθωνος, ἄνθος πανεύοσμον, ἔφυς Θεόφανες, καὶ ποίμνης γέγονας, Ξάνθης πανάριστος ποιμήν, καὶ τοῦ Περιθεωρίου, χάριν δὲ τοῦ Πνεύματος, εἰληφὼς ταύτην χάρισαι, τοῖς ἐγκωμιάζουσι, τὸν φιλόθεον βίον σου, καὶ δεῖξον βασιλείας μετόχους, τῶν οὐρανῶν τοὺς σοὶ προσπίπτοντας.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

# Απόλυση

# ΟΡΘΡΟΣ

Εἱς τὴν α’ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τὴν θείαν τελοῦμέν σου Πάτερ πανήγυριν, ποιμένα γινώσκοντες καὶ Ἱεράρχην Χριστοῦ, Θεόφανες Ἅγιε· ὅθεν καὶ ἐκζητοῦμεν, σὰς εὐχὰς πρὸς Δεσπότην, ὅπως ποίμνην τῆς Ξάνθης, ἐν εἰρήνῃ καὶ πίστει, φυλάττῃ ἀδιάσειστον, ὡς Πολυέλεος.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Εἱς τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Θεοφάνους σήμερον, τοῦ Ἱεράρχου, ἑορτὴ συνέδραμε, χαροποιοῦσα τοὺς πιστούς, καὶ συγκαλεῖται εἱς αἴνεσιν, τούτου πανδήμως, τῆς Ξάνθης Μητρόπολιν.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Σκοτασμὸν ἀπελάσας τῆς σῆς ψυχῆς, τῶν παθῶν δι’ἀσκήσεως καρτερᾶς, παμμάκαρ Θεόφανες, ἐν τῷ Ὄρει τοῦ Ἄθωνος, φωτισμοῦ ἐνεπλήσθης καὶ ἔγνως μυστήρια, ἃ Δεσπότης δωρεῖται πιστοῖς διὰ Πνεύματος· ὅθεν Ἱεράρχης, Ξάνθης Πάτερ ἐγένου, φωτίσας τοῖς λόγοις σου τὸ δοθέν σοι ἐκλόγιον, καὶ πρὸς φῶς καθωδηγήσας, τῶν θείων ἐντολῶν τοῦ Χριστοῦ· Ὃν πρεσβεύοις, πάντοτε αἰτούμεθα, ἡμῖν δοῦναι εἰρήνην, καὶ φῶς τὸ ἀνέσπερον.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Οἱ Ἀναβαθμοί, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Οἱ Ἱερεῖς Σου Κυριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσει ἀγαλλιάσονται.*

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον Ἱεραρχικόν (ζῆτει ἐν τῷ Ὄρθρῳ τῆς ἑορτῆς τοῦ Ἱεροῦ Χρυσοστόμου, τῇ 13η Νοεμβρίου).

Ὁ Ν΄ Ψαλμός.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με ὁ Θεός...*

Ἐν ἡσυχίᾳ ἱερᾷ, ἰδὼν τὸ θεῖον φέγγος, Πάτερ θεόφρον Θεόφανες, τοῦτο ἔσχες παρακλητικὸν συλλήπτορα, ὡς Ἱεράρχης τῆς Ξάνθης, ὑπὲρ ἧς ἁγιώτατε τὸν Χριστὸν ἱκέτευε, χορηγεῖν αὐτῇ τὰ πρὸς σωτηρίαν συμβάλλοντα.

Εἶτα οἱ Κανόνες· ὁ Ἀναστάσιμος καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς: *Φωτὶ Θεοῦ φώτισον, ὦ Θεόφανες σὰ τέκνα. Ἀ*(θανάσιος).

Ὠδὴ α΄. Ἦχος α΄. Ἀναστάσεως ἡμέρα.

Φῶς Θεόφανες παράσχου τοῖς σοῖς τέκνοις Χριστοῦ, σέβουσι ἑορτήν σου, καὶ πρὸς Θεόν σε πρεσβευτήν, κεκτημένοις ἐν δεινοῖς, τοῦ βίου θερμόν, φιλότεκνος πέφυκας, καὶ γὰρ Πάτερ μακάριε.

Ὥσπερ βέλει τετρωμένος τῆς ἀγάπης Χριστοῦ, ἔφθασας εἰς τὸ Ὄρος, μοναχικὴν βιοτήν, ὦ Θεόφανες ποθῶν, ἐξ ὅλης ψυχῆς, διὸ Βατοπαίδιον, εὗρες τόπον ἀσκήσεως.

Τῇ θερμότητι ψυχῆς σου συνεβάλου σοφῶς, Πάτερ εὐχὴν καρδίας, καὶ καθαιρόμενος ἀεί, εἰσεδέξω ἐκ Θεοῦ, χαρίτων βροχήν, δι’ ὧν πεφανέρωσαι, θεῖον ἄνθος Θεόφανες.

Θεοτοκίον.

Ἱκετεύω Θεοτόκε Σὲ ὡς δοῦλος πιστός, λύτρωσαι πάσης πλάνης, τὴν ταπεινήν μου ψυχήν, καὶ χαρίτωσον αὐτήν, λιταῖς μητρικαῖς, πρὸς Ὃν ἐνσωμάτωσας, καὶ ὡς βρέφος ἐθήλασας.

Ὠδὴ γ΄. Δεῦτε πόμα πίωμεν.

Θείου φωτισμοῦ ἐπιτυχών, συνειδὸς ἀπεκάθηρας Πάτερ Ὅσιε, καὶ ταπεινοῦν σεαυτόν, Θεόφανες ἔμπροσθεν Θεοῦ, τὰ μείζω ἐλάμβανες.

Ἔχων Θεοτόκον ὁδηγόν, ἐν Μονῇ τῇ Μεγίστῃ Πάτερ Θεόφανες, αὐξητικῶς ἀρετήν, ἐδέχου καὶ πόνοις παλαιοῖς, καινοὺς προσενήνοχας.

Ὅρους ὑπερβὰς τοὺς φυσικούς, τοῦ ἀέρος τοῦ θείου Πάτερ μετέσχηκας, δι' οὗ ἑώρας ὡς δεῖ, κατάστασιν πᾶσαν τῆς ψυχῆς, τρισμάκαρ Θεόφανες.

Θεοτοκίον.

Ὕδωρ ἐκπηγάζουσα ζωῆς, ἀληθὲς Θεοτόκε τοῦτο παράσχου μοι, καὶ τὴν διψῶσαν ψυχήν, ναμάτων κατάκλυσον Ἁγνή, πλυνόντων τὰ πταίσματα.

Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Φῶς τοῦ πρώτου ὑπάρξας φῶς Πάτερ δεύτερον, ἐν φωτί σου εἰργάσω τὰ ἔργα ἅπαντα, ὅθεν μετέδωκας πιστοῖς ἀμαρύγματα οὐρανίου φωτισμοῦ καὶ καθαρότητα ζωῆς, Θεόφανες ποιμενάρχα, καὶ νῦν φωτὶ τῷ ἀπλέτῳ, τῆς βασιλείας ὅλος πέφυρσαι.

Ὠδὴ δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.

Φωταγωγούμενος αὐγαῖς, ἀκτίστου Πάτερ αὐγασμοῦ, ἔφανας τοῖς πέλας ἀκτῖσι, θεοειδῶν σου ἀρετῶν, καὶ γενόμενος ποιμήν, πολλῶν μοναστῶν, αὐτοὺς καθωδήγησας, πρὸς τὸ φῶς Χριστοῦ Θεόφανες.

Ὡραϊσθεὶς τῇ εὐκτικῇ, καὶ νηπτικῇ διαγωγῇ, χάριτι συνεκράθης· ὅθεν ἐγεύου μυστικῶς, οὐρανίων δωρεῶν, ὡς φίλος Χριστοῦ· Ὧ νῦν παριστάμενος, καθικέτευε Θεόφανες.

Ταῖς γλυκυτάταις διδαχαῖς, πολλὰς ἐξέθρεψας ψυχάς, καὶ τῷ Θεῷ συνῆψας, διὸ καὶ δύνασαι εἰπεῖν, Προφητάνακτος Δαβίδ, τὸν λόγον σοφέ· ἰδοὺ ἐγὼ Κύριε, καὶ τὰ τέκνα ἅ μοι δέδωκας.

Θεοτοκίον.

Ἱλέωσαί μοι τὸν Χριστόν, Παρθενομῆτορ Ἀγαθή, ὅπως παρίδῃς πλῆθος, ἀνομιῶν βαρυνουσῶν, τὴν ἀθλίαν μου ψυχήν, καὶ εὕρω κἀγώ, τὴν θεία ἀνάπαυσιν, ἣν δωρεῖται ὡς Εὔσπλαγχνος.

Ὠδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Συννεύσει συγκλείσας τὸν νοῦν σου, εἰς θεωρίας Θεόφανες ξένως ἡρπάγης, καὶ ἐντεῦθεν ἔμαθες, ἅπερ τοῖς καθαρεύουσι, διδάσκει Πνεῦμα τὸ Ἅγιον.

Ὁράσεις κατεῖδες τρισμάκαρ, καὶ μυστηρίων τῆς πίστεως ἔγνως τὴν χάριν· ὅθεν ὦ Θεόφανες, ποιμαντικῆς ἠξιώσαι, ῥάβδου ἐκ τοῦ Παντοκράτορος.

Νοσήσας πολλάκις ἰάθης, ὥς σοι προέφη ὁ Μάξιμος Πάτερ Καυσοκαλύβης, ὅπως γένης ἄριστος, ἐκ πείρας σου Θεόφανες, ἐξιατὴρ ψυχῆς καὶ σώματος.

Θεοτοκίον.

Ὢ ποία ἐσχάτη μοι ὥρα! ἐν ᾗ κατάδικος μέλλω παρίστασθαι τῷ Δεσπότῃ· ὅθεν ὡς ὑπέρπτωχος, παρακαλῶ Σε Δέσποινα, Σύ μοι γενοῦ ἀντιλήπτρια.

Ὠδὴ στ΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Θυσίαν, προσφέρων Πάτερ Θεῷ, ὥσπερ Ἄγγελός τις ἄλλος ἐφαίνου, πολλῇ γὰρ καρδίας συνοχῇ, τὸν σωσίψυχον παρεκάλεις Χριστόν, ὑπὲρ σύμπαντος κόσμου.

Ἐξ ὄρους, τοῦ νοητοῦ ἐκζητῶν, τὴν βοήθειαν Θεόφανες Πάτερ, δι’ ἧς ἱεραρχήσας σοφῶς, καὶ ἀπέδειξας ὑπηκόους πιστούς, ὡς εἰκόνας Κυρίου.

Ὁ λόγος, ἰσοβαρῶν τῇ ζωῇ, καὶ ὁ βίος σου ἀλὶ ἠλισμένος, ἀσκήσει δυνάμεις γὰρ ψυχῆς, ὦ Θεόφανες συνηγάγου εἰς ἕν, κατὰ τύπον Τριάδος.

Θεοτοκίον.

Φωτί Σου, ἐσκοτισμένην ψυχήν, Φωτοδότις ὡς ὑπάρχουσα Μῆτερ, ἐκκάθαρον δέομαι θερμῶς, ὅπως ἴδω Σου τὸν Υἱὸν καὶ Θεόν, τὸν γλυκὺν Ἰησοῦν μου.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Τὸν τῆς ἀσκήσεως ἐτέλεσας δρόμον, ἐν ὄρει Ἄθω πρῶτον Πάτερ θεόφρον, εἶτα ποιμὴν φιλόχριστος ἐδείχθης ἐκ Θεοῦ, ἐκδιδάσκων ἅπασι, τὴν ἀγάπην Κυρίου, Ὅν καὶ καθικέτευε,

ὦ Θεόφανες ὅπως, ἁμαρτιῶν συγχώρησιν ἡμῖν, εὐχαῖς σου δοῦναι, ὡς μόνος Φιλάνθρωπος.

Ὁ Οἶκος.

Ἀνεπιστρόφως τὸν σταυρόν σου ἀνείληφας, καὶ ὥσπερ ἔλαφος τὸν Ἄθω κατέλαβες, ὅπως ἐκδιψήσῃς τὴν θεόφλεκτόν σου καρδίαν· ἐν τῇ Μάνδρᾳ δὲ τῆς Θεομήτορος ὑποταγείς, καὶ ἀσκήσει χριστοπρεπεῖ νηφόντως ἀνακαθαρθείς, ταύτης Καθηγούμενος, Θεόφανες ἀνεδείχθης. Μετὰ τοῦ ὁσιωτάτου δὲ Μαξίμου φιλιωθείς, ἤκουσας ἐξ αὐτοῦ τὰ μέλλοντά σοι ἐπισυμβῆναι· ὅθεν Ἱεράρχης καταστὰς Ξάνθης τε καὶ Περιθεωρίου, ὁσίως ἐποιμενάρχησας καὶ ἁγιοτελῶς ηὐδοκίμησας. Διό σου σήμερον τὴν μνήμην τελοῦντες χαρμοσύνως, ἱκετικῶς αἰτοῦμέν σε Πάτερ, πρεσβεύειν τῷ Κυρίῳ, ὅπως χαρίζηται ἡμῖν πᾶν οὐρανόδωρον χάρισμα, ὡς μόνος Φιλάνθρωπος.

Συναξάριον.

Τῇ Γ΄ τοῦ αὐτοῦ μηνός, μνήμην τοῦ Ἁγίου Πατρὸς ἡμῶν Θεοφάνους τοῦ Ἁγιορείτου, Ἐπισκόπου Ξάνθης καὶ Περιθεωρίου.

Στίχοι·

*Φωτὸς πλησθεὶς ἐντεῦθεν ὁ Θεοφάνης,*

*Φωτὶ συνῆπται Βασιλείας ἀδύτῳ.*

*Ξάνθης ποιμὴν κεκοίμηται μηνὸς Μαΐου ἐν τρίτῃ.*

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

ᾨδὴ ζ΄. Ὁ παῖδας ἐκ καμίνου.

Ἀνῆλθες ἱερώτατον σύνθρονον, τῆς Ξάνθης ἀγγελόβιε, πάσχων ἐκ ψυχῆς, ὅπως Χριστῷ ἀπολωλός, διδαχαῖς σου συνάψῃς Θεόφανες, διό σε εὐφημοῦμεν, ὡς στοργικὸν ποιμένα.

Νεότητος κρατήσας τὸ ἔνζηλον, Θεόφανες ἐξέτεινες, τὴν ἀσκητικήν, σοῦ ἀγωγὴν ἐπισκοπῶν, μὴ πεσεῖν τῆς ἀγάπης φοβούμενος, τοῦ καλοῦ Δεσπότου, Ὃν βλέπεις εἰς αἰῶνας.

Ἐθέρισας πλουσίως ἃ ἔσπειρας, ἐν δάκρυσι Θεόφανες, καὶ ὥσπερ χρυσός, καθυπομείνας πειρασμούς, ὀβρυζότερος ἔφυς μακάριε· ὅθεν σοι τὸ στέφος, ἐδόθη ἐκ Κυρίου.

Θεοτοκίον.

Στερέωσον ψυχὴν κλονουμένην μου, Παρθένε Παναμώμητε Σοῦ πρὸς τὸν Χριστόν, χεῖρας ὑψοῦσα μητρικάς, καὶ αἰτοῦσα Αὐτοῦ θεῖον ἔλεος, δι' οὗ καταπαύση, ἐμφύλιόν μου μάχην.

ᾨδὴ η΄. Αὕτη ἡ κλητή.

Στῆθι ὡς ποτὲ Φινεὲς θεῖε Πάτερ, καὶ κόπασον Κυρίου, ὀργὴν ἐρχομένην· καὶ γὰρ πᾶσι κακοῖς, παροργίζομεν ἀεὶ τὸν Φιλάνθρωπον, τὴν μακροθυμίαν Αὐτοῦ καταφρονοῦντες.

Αὕτη ἡ σεπτὴ πολιτεία σου Πάτερ, ἠξίωσε τοῦ στέφους, τῆς ἁγιωνυμίας, διὸ Ξάνθην ἀεί, πατρικαῖς σου εὐχαῖς κατευλόγησον, ὅπως θείαν μνήμην, τελῇ σου εἰς αἰῶνας.

Τεῖχος ἐν πικροῖς σκαιωρίαις τοῦ βίου, Θεόφανες σὲ σχόντες, δοξάζομεν Δεσπότην, καὶ γὰρ ἴσον οὐδέν, πατρικῆς ἀγαπήσεως πέφυκεν, ἧς καὶ ἀναξίως, γευόμεθα σὰ τέκνα.

Θεοτοκίον.

Εὔκολον Ἁγνή, ἐξομάλισον βίου, τὴν τρίβον τοῖς Σοῖς δούλοις, ἀπαύστως εὐχομένη, πρὸς γλυκύν Σου Υἱόν, τὸν ποθοῦντα ἀεὶ τὴν μετάνοιαν, τῶν ἁμαρτανόντων, ἐν γνώσει ἤ ἀγνοίᾳ.

ᾨδὴ θ΄. Φωτίζου, φωτίζου.

Κρατεῖται ἡ γλῶσσα, ἐκδιηγεῖσθαι ἀρετάς, τοῦ ἐνθέου σου βίου, ὦ κλεινὲ Θεόφανες, πῶς γὰρ πτωχοὶ σοὶ πλουτοῦντι τρανῶς, θεοπρεπῆ, ὕμνον ἐξισχύσαι, ψάλλειν οὐδόλως γινώσκομεν.

Νικήσας τὴν φύσιν, καὶ ὑπὲρ φύσιν γεγονώς, θεωρὸς ἐγεγόνεις, ὧν περ ἐπεπόθησας· ὅθεν σῇ ποίμνῃ παράσχου εὐχαῖς, Πάτερ σεπτέ, ταῖς πρὸς τὸν Δεσπότην, τούτων τὴν γνῶσιν Θεόφανες.

Ἀγάλλου εὐφραίνου, Ξάνθης Μητρόπολις φαιδρῶς, ὅτι ἔχεις μεσίτην, πρὸς Χριστὸν τὸν Ἅγιον, καὶ ἐν εὐχαῖς ἀρχιθύτην κλεινόν, τὸν στοργικόν, θεῖον Θεοφάνη, ὃς Σου σεπτῶς ἐπεσκόπευσεν.

Θεοτοκίον.

Ἀγάλλου ψυχή μου, ἔχουσα Κόρης τῆς Ἁγνῆς, προστασίαν καὶ σκέπην, καὶ θερμὴν ἀντίληψιν· ὅθεν Αυτῇ πεποιθὼς τὴν ὁδόν, τῆς ἀρετῆς, βάδιζε προθύμως, ὅπως καὶ τύχης θεώσεως.

Ἐξαποστειλάριον. Ἦχος β΄. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἀσκητικῶς διέπρεψας, ἐν τῷ ὄρει τοῦ Ἄθω, χριστοπρεπῶς ἐποίμανας, τὴν Μητρόπολιν Ξάνθης, Θεόφανες θεῖε Πάτερ, ἐρευγόμενος ἅπερ, πείρᾳ πολλῇ ἐξέμαθες, αἷμα δοὺς τῷ Δεσπότῃ, ἀντιλαβών, γνῶσιν μυστηρίων ἐπουρανίων, ὧν καὶ ἡμᾶς ἀξίωσον, τοὺς τιμῶντάς σε πόθῳ.

Αἶνοι. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὅτε, ὁ ἔρως ὁ ἔνθεος, κατέτρωσέ σου ψυχήν, τότε Πάτερ Θεόφανες, ταχυδρόμος ἔφθασας, εἰς τὸ Ὄρος τοῦ Ἄθωνος, καὶ πυριφλέκτως, εὐχὴν ἐξήσκησας, πάσῃ δυνάμει ἀποκρουόμενος, ἐχθροῦ τὰ βέλεμνα, ἔχων τὴν Ὑπέραγνον συναρωγόν, Ἧς τὴν καθαρότητα, ζηλῶν ἐπόθησας.

Βατοπαιδίου ἡ μάνδρα σου, παιδαγωγὸς εἰς Χριστοῦ, πολιτείαν ἐγένετο, καὶ τῆς συνειδήσεως, ἱερώτατον στάδιον, ἐν ᾗ νηφόντως δάκρυσιν ἔσπειρας, καὶ ἀρετῶν σου, ᾖρας τὰ δράγματα· ὅθεν καὶ γέγονας, ταύτης καθηγούμενος καὶ ὁδηγός, ἔνδοξε Θεόφανες, θεοδηγούμενος.

Βάθη, γνωρίσας τοῦ Πνεύματος, τῇ ἐνεργείᾳ Χριστοῦ, δι' ἐντόνου ἀσκήσεως, νοῦν Πάτερ Θεόφανες, θεῖον ὄχημα ἔδειξας, διὸ Μαξίμου πτῆσιν ἑώρακας, καὶ προφητείας, τούτου ἀκήκοας, τῇ ὁμοιότητι, ἕλκονται τα ὅμοια θεοπρεπῶς, καὶ τοῖς ὑπὲρ ἔννοιαν, ἐμπολιτεύονται.

Ὅτε, ποιμὴν θεοπρόβλητος, Ξάνθης ἐγένου σοφέ, ἃπερ Ἄθωνι ἔμαθες, θεολόγῳ γλώττῃ σου, τῷ ποιμνίῳ ἐξέθηκας, ἱεραρχήσας πολλοῖς ἐν δάκρυσι, καὶ γόνυ κλίνων, ὑπὲρ προβάτων σου· ὅθεν ὁ Κύριος, πάντιμε Θεόφανες στέφει λαμπρῷ, τῷ τῆς ἁγιότητος, κάραν σου ἔστεψεν.

Δόξα. Ἦχος πλ. α΄.

Ἀσκητικῶς βιώσας πρῶτον ἐν Ἄθωνι, θεοπρεπῶς ἐποιμενάρχησας εἶτα ἐν Ξάνθῃ Θεόφανες, κατὰ τοὺς πάλαι ἁγίους Ἱεράρχας. Φῶς γὰρ προσλαμβάνων ἐκ τοῦ Πρώτου Φωτός, τοῦτο μετεδίδους ἀφθόνως, ἱερουργῶν ὡς ἀσώματος θεοπρεπῶς, καὶ ἀποστολικῶς κηρύττων τοῖς τέκνοις σου· ὅθεν ἐν πολλοῖς πειρασμοῖς τελέσας τὸν βίον σου, νῦν εὐφραίνῃ μετὰ τῶν Ἁγίων, ἔνθα πρέσβευε Πάτερ φιλοτέκνως τῷ Μεγάλω Ἀρχιερεῖ, ὑπὲρ τῆς ὧδε φιλαγίου ποίμνης σου.

Καὶ νῦν.

Ἀναστάσεως ἡμέρας...

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

Μεγαλυνάριον.

Δεῦτε εὐφημήσωμεν ἐκ ψυχῆς, θεῖον Θεοφάνη, Ὄρους Ἄθω ἄνθος τερπνόν, Ξάνθης τε ποιμένα, καὶ Περιθεωρίου, ὅπως ἔνθεον πρέσβυν, τοῦτον πλουτήσωμεν.

Στίχοι.

*Φωτὸς θείου, Θεόφανες ἀπολαύων,*
*Τοὺς ὑμνητάς σου τούτου μετόχους δεῖξον*